# Πότε ἡ ἡμέρα Κυρίου ἐλεύσεται;

## Συμεών ο νέος θεολόγος

Οὐαὶ οἱ λέγοντες· "Πότε ἡ ἡμέρα Κυρίου ἐλεύσεται;" καὶ ταύτην καταλαβεῖν μὴ σπουδάζοντες. Ἡ γὰρ παρουσία τοῦ Κυρίου εἰς τοὺς πιστοὺς γέγονε καὶ ἀεὶ γίνεται καὶ εἰς πάντας τοὺς βουλομένους ἐφέστηκεν. Εἰ γὰρ ἐκεῖνος τὸ φῶς τοῦ κόσμου ἐστὶ καὶ τοῖς αὐτοῦ ἀποστόλοις εἶπε μεθ᾿ ἡμῶν ἕως τῆς συντελείας συνέσεσθαι, πῶς, μεθ᾿ ἡμῶν ὤν, ἐλεύσεται; Οὐδαμῶς. Οὐ γάρ ἐσμεν υἱοὶ σκότους καὶ υἱοὶ νυκτός, ἵνα τὸ φῶς ἡμᾶς καταλάβῃ, ἀλλ᾿ υἱοὶ φωτὸς καὶ υἱοὶ τῆς τοῦ Κυρίου ἡμέρας, ὅθεν καὶ ζῶντες ἐν τῷ Κυρίῳ ἐσμὲν καὶ ἀποθνῄσκοντες ἐν αὐτῷ καὶ σὺν αὐτῷ ζήσομεν, καθὼς ὁ Παῦλός φησι.

Περὶ τούτου γὰρ καὶ ὁ θεολόγος οὕτως λέγει Γρηγόριος· "Ὅπερ ἐστὶ τοῖς αἰσθητοῖς ἥλιος, τοῦτο τοῖς νοητοῖς Θεός".

Οὗτος γὰρ ἔσται καὶ ὁ μέλλων αἰὼν καὶ ἡ ἀνέσπερος ἡμέρα καὶ βασιλεία οὐρανῶν, νυμφὼν καὶ παστὰς καὶ γῆ πραέων καὶ θεῖος παράδεισος καὶ βασιλεὺς καὶ διάκονος, καθὼς αὐτὸς οὕτως εἴρηκε· "Μακάριοι οἱ δοῦλοι ἐκεῖνοι, οὓς ἐλθὼν ὁ κύριος αὐτῶν εὑρήσει γρηγοροῦντας· ἀμὴν γὰρ λέγω ὑμῖν ὅτι ἀνακλινεῖ αὐτοὺς καὶ περιζωσάμενος διακονήσει αὐτοῖς."